**SS 2024 Griech. Lektüre-Übung: Menander, *Dyskolos* TEXT 14 (Karanasiou)**

https://www.greek-language.gr/digitalResources/ancient_greek/library/browse.html?text_id=137&page=23

V. 727-747

οὐ προσειπόντ᾽, οὐ λαλήσανθ᾽ ἡδέως, σέσωχ᾽ ὅμως.
ὅπερ ἂν ἄλλος καὶ δικαίως· «οὐκ ἐᾷς με προσιέναι·
οὐ προσέρχομ᾽· οὐδὲν ἡμῖν γέγονας αὐτὸς χρήσιμος·
οὐδ᾽ ἐγὼ σοὶ νῦν.» τί δ᾽ ἐστί, μειράκιον; ἐάν ‹τ᾽› ἐγὼ
ἀποθάνω νῦν —οἴομαι δέ, καὶ κακῶς ἴσως ἔχω—
ἄν τε περι‹σωθ›ῶ, ποοῦμαί σ᾽ ὑόν, ἅ τ᾽ ἔχων τυγχάνω
πάντα σαυτοῦ νόμισον εἶναι. τήνδε σοι παρεγγυῶ·
ἄνδρα δ᾽ αὐτῇ πόρισον. εἰ γὰρ καὶ σφόδρ᾽ ὑγιαίνοιμ᾽ ἐγώ,
αὐτὸς οὐ δυνήσομ᾽ εὑρεῖν· οὐ γὰρ ἀρέσει μοί ποτε
οὐδὲ εἷς. ἀλλ᾽ ἐμὲ μέν, ‹ἂν ζῶ›, ζῆν ἐᾶθ᾽ ὡς βούλομαι,
τἆλλα πρᾶττ᾽ αὐτὸς παραλαβών. νοῦν ἔχεις σὺν τοῖς θεοῖς,
κηδεμὼν εἶ τῆς ἀδελφῆς εἰκότως. τοῦ κτήματος
ἐπιδίδου ‹σὺ› προῖκα τοὐμοῦ διαμετρήσας ‹θ›ἥμισυ,
τὸ δ᾽ ἕτερον λαβὼν διοίκει κἀμὲ καὶ τὴν μητέρα.
ἀλλὰ κα]τάκλινόν με, θύγατερ. τῶν δ᾽ ἀναγκαίων λέγειν
πλείον᾽] οὐκ ἀνδρὸς νομίζω· πλὴν ἐκεῖνό γ᾽ ἴσθι, παῖ—
ὑπὲρ ἐ]μοῦ γὰρ βούλομ᾽ εἰπεῖν ὀλίγα σοι καὶ τοῦ τρόπου—
εἰ τοιοῦτ]οι πάντες ἦσαν, οὔτε τὰ δικαστήρια
ἦν ἄν, οὔθ᾽ αὑτοὺς ἀπῆγον εἰς τὰ δεσμωτήρια,
οὔτε πόλεμος ἦν, ἔχων δ᾽ ἂν μέτρι᾽ ἕκαστος ἠγάπα.
ἀλλ᾽ ἴσως ταῦτ᾽ ἐστ᾽ ἀρεστὰ μᾶλλον· οὕτω πράττετε.
ἐκποδὼν ὑμῖν ‹ὁ› χαλεπὸς δύσκολός τ᾽ ἔσται γέρων.